# 07 DECEMBRIE

# EGKOMIA
# SF.MUCENITE
# FILOTEEA
# DE LA
# CURTEA
# DE ARGES

ATENA,2015


Sfânta
Muceniţă
Filofteia

*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος* (Ψαλμ. 117, 14)

Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# Ε Γ Κ Ω Μ Ι Α

## ΕΙΣ ΤΗΝ ΕΝΔΟΞΟΝ ΠΑΙΔΟΜΑΡΤΥΡΑ

# ΦΙΛΟΘΕΗΝ

## ΤΗΝ ΕΝ ΑΡΤΖΕΣ ΡΟΥΜΑΝΙΑΣ

*

*

*   *   *   *   *

*

*

Ἀθῆναι 2015

# Ε Γ Κ Ω Μ Ι Α

## ΕΙΣ ΤΗΝ ΕΝΔΟΞΟΝ ΠΑΙΔΟΜΑΡΤΥΡΑ

# ΦΙΛΟΘΕΗΝ

## ΤΗΝ ΕΝ ΑΡΤΖΕΣ ΡΟΥΜΑΝΙΑΣ

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

**Ὁ Κανὼν φέρει τήνδε τὴν ἀκροστιχίδα˙**

**«Χαῖρε, Φιλοθέη,* Ἄρτζες σέμνωμα,* σεμνὴ παιδομάρτυς. Χ.»**

### ΣΤΑΣΙΣ Α΄

**Ἦχος πλ. α΄. Ἡ ζωὴ ἐν τάφῳ.**

Μακαρίζομέν σε,
Φιλοθέη σεμνή,
παιδομάρτυς θαυμαστὴ καὶ πανίερε
τοῦ Κυρίου καὶ Παντάνακτος ἀμνάς.

Μακαρίζομέν σε,
παιδομάρτυς κλεινή,
Φιλοθέη, γέρας Ἄρτζες ἀτίμητον
καὶ Χριστοῦ τῆς Ἐκκλησίας θησαυρέ.

**Καὶ τὰ ἑπόμενα φέροντα Ἀκροστιχίδα˙ «Χαῖρε, Φιλοθέη»**

Χαῖρε, παιδομάρτυς
Φιλοθέη, πτωχῶν
καὶ πενήτων χορτασμός, ἡ ἀθλήσασα
μιαιφόνοις σοῦ γεννήτορος χερσίν.

Αἴγλης, Φιλοθέη,
οὐρανῶν ἀληθῶς
ἀπολαύεις, ὡς παιδίσκη φιλεύσπλαγχνος
καὶ Μαρτύρων παιδοάθλων καλλονή.

Ἰαμάτων βλύζει
ἡ ἐν Ἄρτζες σορὸς
σῶν λειψάνων, Φιλοθέη πανύμνητε,
τοῖς αὐτὴν ἀσπαζομένοις εὐλαβῶς.

Ῥαίνομέν σε ῥόδοις,
Φιλοθέη, τερπνοῖς
τῶν ᾀσμάτων ὡς ἀρίστην παιδόαθλον
καὶ ἰάτειραν νοσούντων ἀλγεινῶς.

Εὐσεβείας κέρας,
Φιλοθέη, σεπτόν,
εὐλαβῶς ἡμᾶς, σωφρόνως ἀξίωσον
καὶ δικαίως πολιτεύεσθαι, σεμνή.

Φάρος εὐποιΐας,
Φιλοθέη, λαμπρὸς
ἐποφθεῖσα κατεφώτισας Τύρνοβον,
σὴν πατρίδα, εὐσπλαγχνίας σου βολαῖς.

Ἰαμάτων κρήνη
πολυχεύμων, σεμνὴ
Φιλοθέη, ἀνεδείχθη λειψάνων σου
θεία λάρναξ ἐν Κουρτέας τῇ Μονῇ.

Λυπηρῶν ὁμίχλην
τῷ φωτὶ σῶν εὐχῶν,
Φιλοθέη παιδομάρτυς, διάλυσον
πρὸς Νυμφίον σου οὐράνιον, Χριστόν.

Οὐρανῶν πολῖτας
δεῖξον πάντας ἡμᾶς
τοὺς τιμῶντάς σου, παιδίσκη, τὴν ἄθλησιν,
Φιλοθέη, Παντοκράτορος ἀμνάς.

Θ αυμαστῶς ἡ θήκη
σῶν λειψάνων πιστοῖς

ἐπομβρίζει, Φιλοθέη, ἰάματα,
τοῖς αἰτοῦσι τὴν θερμήν σου ἀρωγήν.

**Δόξα. Τριαδικόν.**

Ἐπευλόγει πάντας,
Παναγία Τριάς,
οὐρανόθεν τοὺς ἀεί Σε δοξάζοντας
εὐλαβῶς ὡς τροσυπόστατον Θεόν.

**Καὶ νῦν. Θεοτοκίον.**

Ἡ ἐναργεστάτη
τῶν πιστῶν βοηθός,
ῥύου πάντας ἀλγηδόνων, στενώσεων,
Θεοτόκε, καὶ παντοίων συμφορῶν.

**Καὶ αὖθις τὸ πρῶτον.**

Μακαρίζομέν σε,
Φιλοθέη σεμνή,
παιδομάρτυς θαυμαστὴ καὶ πανίερε
τοῦ Κυρίου καὶ Παντάνακτος ἀμνάς.

## ΣΤΑΣΙΣ Β΄.
**Ἦχος πλ. α΄. Ἄξιόν ἐστι.**

Ἄξιόν ἐστι
μακαρίζειν σε, Παιδομαρτύρων
κλέος, Φιλοθέη πανύμνητε,
τὴν κτανθεῖσαν σοῦ γεννήτορος χερσίν.

Ἄξιόν ἐστι
μακαρίζειν σε, σεμνὴ παιδίσκη,
Φιλοθέη, χάρις ἣν ἔδειξε
σοῦ Νυμφίου ἰαμάτων ποταμόν.

**Καὶ τὰ ἑπόμενα φέροντα Ἀκροστιχίδα· «Ἄρτζες σέμνωμα»**

Ἄρτζες εὐλογεῖς
καὶ Κουρτέας ἁγιάζεις Μάνδραν
θήκῃ, Φιλοθέη, λειψάνων σου,
ὀμβριζούσῃ τὰ ἰάματα πιστοῖς.

Ῥῦσαι συμφορῶν,
Φιλοθέη παιδομάρτυς, πάντας

σὲ ὑμνολογοῦντας ὡς πρόβολον
εὐσπλαγχνίας καὶ ἀμέμπτου ἀγωγῆς.

Τείχισον ἡμᾶς
ἀρωγῇ σου, Φιλοθέη, θείᾳ,
τοὺς ἀσπαζομένους ἀείποτε
τὴν πανθαύμαστον λειψάνων σου σορόν.

Ζήλου θεϊκοῦ
πάντας ἔμπλησον τοὺς σὲ ὑμνοῦντας
καὶ ἐκδεχομένους σὴν εὔνοιαν,
Φιλοθέη, παιδομάρτυς θαυμαστή.

Ἔχει ἡ Μονὴ
τῆς Κουρτέας σῶν λειψάνων θήκην
θησαυρὸν καθάπερ ἀσύλητον,
Φιλοθέη, καὶ ἰάσεων πηγήν.

Στῦλος ἀῤῥαγὴς
εὐποιΐας καὶ χρηστοηθείας
ὤφθης, Φιλοθέη, χορτάσασα
τοῖς ἐδέσμασι πατρός σου ἐνδεεῖς.

Σῶσον ἐκ φθορᾶς,
πειρασμῶν καὶ θλίψεων παντοίων,
Φιλοθέη, πάντας τοὺς σπεύδοντας
προσκυνῆσαί σε ἐν Ἄρτζες εὐλαβῶς.

Εὗρες δαψιλῶς,
Φιλοθέη, θείαν χάριν πᾶσι
προσκυνοῦσι θήκην λειψάνων σου
τὰ ἰάματα παρέχειν, θαυμαστή.

Μέμνησο ἡμῶν
προσκυνούντων σου ἐν Ἄρτζες θήκην
τῶν λειψάνων, Μάρτυς παιδόαθλε,
Φιλοθέη, θαυμασίων ποταμέ.

Νίκας κατ᾽ ἐχθρῶν,
Φιλοθέη, δὸς τοῖς σὲ ὑμνοῦσιν

ὡς παιδομαρτύρων ὡράϊσμα
καὶ ἀστείρευτον ἰάσεων πηγήν.

Ὡς πυρσὸν λαμπρὸν
εὐποιΐας, Φιλοθέη, πάντες
σὲ ὑμνολογοῦμεν καὶ πύρσευμα
παμφαέστατον Μαρτύρων εὐκλεῶν.

**Δόξα. Τριαδικόν.**

Μνήμην ἐκτενῶς
ἑορτάζοντας, Τριὰς Ἁγία,
Φιλοθέης, δόξαν Σοι πέμπομεν,
τρισυπόστατε Θεότης, εὐλαβῶς.

**Καὶ νῦν. Θεοτοκίον.**

ᾌσμασι τερπνοῖς
καὶ μελίσμασι παναρμονίοις
σὲ ὑμνολογοῦμεν, Μητρόθεε,
ὡς πηγὴν τῶν χοϊκῶν ἁγιασμοῦ.

**Καὶ αὖθις τὸ πρῶτον.**

Ἄξιόν ἐστι

μακαρίζειν σε, Παιδομαρτύρων
κλέος, Φιλοθέη πανύμνητε,
τὴν κτανθεῖσαν σοῦ γεννήτορος χερσίν.

**ΣΤΑΣΙΣ Γ΄.**

**Ἦχος γ΄. Αἱ γενεαὶ πᾶσαι.**

Αἱ γενεαὶ πᾶσαι,
ὡς φρέαρ, Φιλοθέη,
τιμῶμέν σε θαυμάτων.

Αἱ γενεαὶ πᾶσαι
ὑμνοῦμεν Φιλοθέην,
παιδόαθλον ἀρίστην.

**Καὶ τὰ ἑπόμενα φέροντα ἀκροστιχίδα· " σεμνὴ παιδομάρτυς. Χ."**

Στηρίζουσα μὴ παύσῃ
ἐν βίῳ, Φιλοθέη,
σοὺς ὑμνητάς, ἀλκίφρον.

Ἐπιληψίας ὤφθης
ἰάτειρα ταχεῖα,
τοῦ Ἄρτζες, Φιλοθέη.

Μαρτύρων ταῖς χορείαις
λαμπρῶς συνηριθμήθης,
Ἁγία Φιλοθέη.

Νικῆσαι, Φιλοθέη,
τὸν πλάνον σοὺς ἱκέτας
ἀξίωσον, τρισμάκαρ.

Ἡ θήκη σῶν λειψάνων
ἐκβλύζει ἀενάως
ἰάσεις, Φιλοθέη.

Πατρός σου παιδοκτόνου
παλάμαις, Φιλοθέη,
ἐδέξω νίκης στέφος.

Ἀφθόνως ἀσθενοῦσιν
ἰάσεις, Φιλοθέη,
παρέχεις χάριτί σου.

Ἰσχύος θείας πλῆσον
τοὺς σὲ ὑμνολογοῦντας
ἐν πίστει, Φιλοθέη.

Δὸς πᾶσι, Φιλοθέη,
ὑγίειαν κατ᾽ ἄμφω
τοῖς μεγαλύνουσί σε.

Οἱ δῆμοι Χριστωνύμων
τιμῶμεν, Φιλοθέη,
σὴν ἄθλησιν γενναίαν.

Μονῆς Κουρέας εὖχος
καὶ Ἄρτζες, Φιλοθέη,
ὑπάρχεις κοσμιότης.

Ἀξίως, Φιλοθέη,
ὑμνοῦμέν σε, παιδίσκη,
ὡς συμπαθείας κέρας.

Ῥοαῖς τῶν σῶν αἱμάτων
ἡγίασας Τυρνόβου
τὴν χθόνα, Φιλοθέη.

Τὴν χάριν σου θεόθεν
ἡμῖν ἀφθόνως πέμψον,
παιδίσκη Φιλοθέη.

Ὑπὲρ ἡμῶν δυσώπει

τὸν Κτίστην, Φιλοθέη,
τιμώντων σου τὴν μνήμην.

**Δόξα. Τριαδικόν.**

Σῶν οἰκτιρμῶν ῥανίδας
ἐπίσταξον θεόθεν
ἡμῖν, Τριὰς Αγία.

**Καὶ νῦν. Θεοτοκίον.**

Χαρᾶς ἡμῶν αἰτία,
τῶν θλίψεων ὁμίχλην
πιστῶν, Παρθένε, λῦσον.

**Καὶ αὖθις τὸ πρῶτον.**

Αἱ γενεαὶ πᾶσαι,
ὡς φρέαρ, Φιλοθέη,
τιμῶμέν σε θαυμάτων.

## ΕΥΛΟΓΗΤΑΡΙΑ

**Ἦχος πλ. α΄.**

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με νῦν Φιλοθέην μέλψαι.

Τῶν Ἀγγέλων ὁ δῆμος
κατεπλάγη ὁρῶν σου
εὐποιΐας ἀγῶνας
πρὸς πτωχῶν χορτασμόν,
Φιλοθέη Ἁγία,
καὶ ὑπομονὴν
δειναῖς ἐν κολάσεσι
μητρυιᾶς σου,
ἀρίστη παιδόαθλε.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με νῦν Φιλοθέην μέλψαι.

Μύροις ὕμνων,
Φιλοθέη στέφοντες
τὴν σὴν μνήμην προσκυνοῦμεν πόθῳ
τῶν λειψάνων σου σορὸν
ἐν Ἄρτζες, τὴν ἀφθόνως
χέουσαν πιστῶν
χορείαις ἰάματα,
παιδομάρτυς,
τῆς πίστεως πρόβολε.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με νῦν Φιλοθέην μέλψαι.

Λίαν πιστῶς
θήκην προσπτυσσόμεθα
τῶν λειψάνων σου ἐν Ἄρτζες, Μάρτυς,
τοῦ Τυρνόβου εὐθαλὲς ἐκβλάστημα
καὶ Κουρτέας τοῦ Σεμνείου κρίνον,
χάριτι Θεοῦ
ἐκχέουσαν ἅπασι,
Φιλοθέη,
ἰάσεων νάματα.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με νῦν Φιλοθέην μέλψαι.

Μυροφόροι ὡς ἄλλοι
εὐσεβούντων οἱ δῆμοι,
Φιλοθέη, λειψάνων σου τὴν θήκην
ὕμνων ῥαίνομεν νῦν
ῥόδοις καὶ ἐκβοῶμεν·
Μάρτυς τοῦ Χριστοῦ,
θεόθεν ἐπόπτευε
καὶ εὐλόγει
τοὺς σὲ μακαρίζοντας.

**Δόξα. Τριαδικόν.**

Ὁμοούσιον πάντες
Παναγίαν Τριάδα
εὐλαβῶς προσκυνοῦντες,
τὸν Πατέρα, τὸν Λόγον
καὶ τὸ Ἅγιον Πνεῦμα,
πάντες οἱ πιστοὶ
βοῶμεν˙ Ἐπάκουσον
οἰκετῶν σου,
Θεότης τρισάκτινε.

**Καὶ νῦν. Θεοτοκίον.**

Ζωοδότην τεκοῦσα
Ἰησοῦν, Θεοτόκε,
τοῦ Θεοῦ Θεὸν Λόγον,
ἐξ ἁγνῆς σου νηδύος,
χάριν εὗρες πρεσβεύειν
Τούτῳ ἀκλινῶς
ὑπὲρ τῶν ἐν ᾄσμασιν
εὐφημούντων
εὐτάκτοις σε πάντοτε.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα Σοι, ὁ Θεός. **(ἐκ γ΄)**

**Δίστιχον.**

**Φιλοθέην ἐγκωμίοις Εὐστράτιος**
**σὺν συνεύνῳ ἔστεψε καὶ Χαραλάμπης.**